ὡς ἐπακουσομένων τῶν ἐπιεικῶν τοῖς ἔθεσι A προηγουμένως· ἀπειθοῦσι δὲ καὶ ἀφυεστέροις οὖσι, κολάσεις τε καὶ τιμωρίας ἐπιτιθέναι· τοὺς δ' ἀνιάτους, ὅλως ἐξορίζειν· τὸν μὲν γὰρ ἐπιεικῆ, καὶ πρὸς τὸ καλὸν ζῶντα, τῷ λόγῳ πειθαρχήσειν· τὸν δὲ φαῦλον, ἡδονῆς ὀρεγόμενον, λύπῃ κολάζεσθαι, ὥσπερ ὑποζύγιον. διὸ καὶ φασὶ δεῖν τὰς τοιαύτας γίνεσθαι λύπας, αἳ μάλιστα ἐναντιοῦνται ταῖς ἀγαπω- B μέναις ἡδοναῖς. εἰ δ' οὖν, καθάπερ εἴρηται, τὸν ἐσόμενον ἀγαθὸν τραφῆναι καλῶς δεῖ, καὶ ἐθισθῆναι· εἶθ' οὕτως ἐν ἐπιτηδεύμασιν ἐπιεικέσι ζῆν, καὶ μήτε ἄκοντα, μήτε ἑκόντα πράττειν τὰ φαῦλα· ταῦτα δὲ γίγνοιτ' ἂν βιουμένοις κατά τινα νοῦν καὶ τάξιν ὀρθὴν, ἔχουσαν ἰσχύν. ἡ μὲν οὖν πατρικὴ πρόσταξις, οὐκ ἔχει τὸ ἰσχυρὸν, οὐδὲ τὸ ἀναγκαῖον· οὐδὲ δὴ C ὅλως ἡ ἑνὸς ἀνδρὸς, μὴ βασιλέως ὄντος, ἤ τινος τοιούτου. ὁ δὲ νόμος ἀναγκαστικὴν ἔχει δύναμιν, λόγος ὢν ἀπό τινος φρονήσεως καὶ νοῦ· καὶ τῶν μὲν ἀνθρώπων ἐχθραίνουσι τοὺς ἐναντιουμένους ταῖς ὁρμαῖς, κἂν ὀρθῶς αὐτὸ δρῶσιν· ὁ δὲ νόμος οὐκ ἔστιν ἐπαχθὴς, τάττων τὸ ἐπιεικές. ἐν μόνῃ δὲ τῇ Λακεδαιμονίων πόλει μετ' ὀλίγων ὁ νομοθέτης ἐπιμέλειαν δοκεῖ D πεποιῆσθαι τροφῆς τε καὶ ἐπιτηδευμάτων· ἐν δὲ ταῖς πλείσταις τῶν πόλεων ἐξημέληται, περὶ τῶν τοιούτων, καὶ ζῇ ἕκαστος ὡς βούλεται, κυκλωπικῶς θεμιστεύων παίδων, ἠδ' ἀλόχου. κράτιστον μὲν οὖν γίγνεσθαι κοινὴν ἐπιμέλειαν καὶ ὀρθὴν καὶ δρᾶν αὐτὸ δύνασθαι· κοινῇ δὲ ἐξαμελουμένων, ἑκάστῳ δόξειεν ἂν προσήκειν τοῖς σφετέροις τέκνοις καὶ φίλοις E εἰς ἀρετὴν συμβάλλεσθαι, ἢ προαιρεῖσθαί γε. μάλιστα δ' ἂν τοῦτο δύνασθαι δόξειεν ἐκ τῶν εἰρημένων, νομοθετικὸς γενόμενος· αἱ μὲν γὰρ κοιναὶ ἐπιμέλειαι δηλονότι διὰ νόμων γίγνονται· ἐπιεικεῖς δὲ, αἱ διὰ τῶν σπουδαίων. γεγραμμένων δ', ἢ ἀγράφων, οὐδὲν ἂν δόξειε διαφέρειν, οὐδὲ δι' ὧν εἷς ἢ πολλοὶ παιδευθήσονται, ὥσπερ οὐδ' ἐπὶ μουσικῆς, καὶ γυμναστικῆς, καὶ τῶν ἄλλων παιδευ- F μάτων· ὥσπερ γὰρ ἐν ταῖς πόλεσιν ἐνισχύει τὰ νόμιμα καὶ τὰ ἤθη, οὕτω καὶ ἐν οἰκίαις οἱ πατρικοὶ λόγοι καὶ τὰ ἤθη· καὶ ἔτι μᾶλλον διὰ τὴν συγγένειαν, καὶ τὰς εὐεργεσίας· προϋπάρχουσι γὰρ στέργοντες καὶ εὐπειθεῖς τῇ φύσει. ἔτι δὲ καὶ διαφέρουσιν αἱ καθ' ἕκαστον παιδεῖαι τῶν κοινῶν, ὥσπερ ἐπὶ ἰατρικῆς· καθόλου μὲν γὰρ

bere, eò quòd probi ex consuetudine precipuè obtẽperaturi sunt: illis verò qui non parēt, suntque natura ineptiores, castigationes & pœnas irrogare: qui autem insanabiles sunt, prorsus exterminare. probum enim & qui ad honestatem viuit, rationi esse obediturum: prauum autem voluptatem appetẽtem non secus ac iumentum dolore puniri. vnde etiam tales dolores exhiberi oportere inquiunt, qui voluptatibus quæ amantur, maximè aduersentur. Quòd si quemadmodum dictum est, eum qui bonus futurus est, honestè educatum esse, atque assuetum oportet: deinde ita in honestis studiis viuere, & neque inuitum neque sponte praua agere: id autem fieret, si ex intellectu quodam & recto ordine vim habente vita traduceretur: paterna quidem iussio neque vim, neque necessitatem habet: sicque omnino viri vnius, nisi rex, aut talis aliquis sit. at lex, cùm ex prudentia quadam ex mente profecta oratio sit, cogendi vim habet. Atque homines quidem qui appetitionibus aduersantur, etiam si rectè id faciant: plerique odio prosequuntur. at lex cùm probitatem iubet, odio non est. In sola verò Lacedæmoniorum ciuitate cum paucis educationis & studiorum habuisse curam legislator videtur: in plerisque aliis neglecta hæc fuerunt viuitque vnusquisque sicut vult, Cyclopum more, filiis dans iura suis & vxori. Præstantissimum quidem est, vt curam publicam & rectam habeamus, atque id facere possimus, si tamen publicè id negligatur: conuenire vnicuique videtur, vt liberis suis & amicis ad virtutem conducat, vel conducere saltem proponat. Maximè autem id posse facere videretur ex iis quæ dicta sunt, is qui ad leges ferendas idoneus euaserit. per leges enim videlicet curæ publicæ, atque honestæ per honestas fieri consueuerunt. Scriptæne sint an non scriptæ, interesse nihil videtur: neque vnúsne an multi per eas instituantur. quemadmodum neque in musica, & exercitatoria, cæterísque aliis studiis. Sicut enim in ciuitatibus legum instituta & mores: sic in domibus paternæ orationes, & mores valent. quin ob cognationem & beneficia etiam magis: quippe cùm affecti erga parentes iam dudum, atque obtemperantes natura sint. Adde quòd priuatæ educationes à publicis differunt. non secus atque in medicina. cùm enim vniuersaliter